eul_wid: jqa-aa

*Νικαίνετος ὁ Σάμιος* · Nicaenetus of Samos

# Fragments on Mythical Foundings

*Ἀποσπάσματα περὶ Μυθικῶν Κτισμάτων*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

book 1.1 [ln_1]Αὐτὰρ ὅ γε
book 1.2 προτέρωσε κιὼν Οἰκούσιον ἄστυ κτίσσατο, Τραγασίην δὲ Κελαινέος ἤγετο
book 1.3 παῖδα ἥ οἱ Καῦνον ἔτικτεν ἀεὶ φιλέοντα θέμιστας· γείνατο δὲ ῥαδαλῇς ἐναλίγκιον ἀρκεύθοισι[ln_5]Βυβλίδα, τῆς ἤτοι ἀέκων ἠράσσατο Καῦνος ... Βῆ δεφερενδιος
book 1.4 φεύγων
book 1.5 φρικώδεα Κύπριν καὶ Κράγον ὑλιγενῆ καὶ Κάρια ἱρὰ λοετρά ... ἔνθ᾽ ἤτοι
book 1.6 πτολίεθρον ἐδείματο
book 1.7 πρῶτος Ἰώνων, αὐτὴ δὲ γνωτή, ὀλολυγόνος οἶτον ἔχουσα,[ln_10]Βυβλὶς ἀποπρὸ Πυλῶν Καύνου ὠδύρατο νόστον.
book 3.1 Ἡρῷσσαι, Λιβύων ὅρον ἄκριτον αἵτε νέμεσθε, [para]αἰγίδι καὶ στρεπτοῖς ζωσάμεναι θυσάνοις, τέκνα θεῶν, δέξασθε
book 3.2 Φιλήτιδος ἱερὰ ταῦτα [para]δράγματα καὶ χλωροὺς ἐκ καλάμης
book 3.3 στεφάνους,[ln_5]ἅσς᾽ ἀπὸ λικμητοῦ δεκατεύεται· ἀλλὰ καὶ οὕτως, [para]ἡρῷσσαι, Λιβύων
book 3.4 χαίρετε δεσπότιδες.
book 4.1 Ἠρίον εἰμὶ Βίτωνος, ὁδοιπόρε· εἰ δὲ Τορώνην [para]λείπων εἰς αὐτὴν ἔρχεαι Ἀμφίπολιν, εἰπεῖν Νικαγόρῃ παίδων ὅτι τὸν μόνον αὐτῷ [para]Στρυμονίης Ἐρίφων ὤλεσε
book 4.2 πανδυσίῃ.
book 5.1 Αὐτόθεν ὀστράκινόν με καὶ ἐν
book 5.2 ποσὶ γήϊνον Ἑρμῆν [para]ἔπλασεν ἀψῖδος κύκλος ἑλισσόμενος. Πηλὸς ἐφυράθην· οὐ ψεύσομαι· ἀλλ᾽ ἐφίλησα, [para]ὦ ξεῖν᾽, ὀστρακέων δύσμορον ἐργασίην.
book 6.1 Οὐκ ἐθέλω, Φιλόθηρε, κατὰ πτόλιν, ἀλλὰ παρ᾽ Ἥρῃ [para]δαίνυσθαι, Ζεφύρου
book 6.2 πνεύμασι
book 6.3 τερπόμενος. Ἀρκεῖ μοι λιτὴ μὲν ὑπὸ πλευροῖσι χάμευνα, [para]ἐγγύθι γὰρ
book 6.4 προμάλου δέμνιον ἐνδαπίης,[ln_5]καὶ λύγος, ἀρχαῖον Καρῶν
book 6.5 στέφος. Ἀλλὰ φερέσθω [para]οἶνος, καὶ Μουσέων ἡ χαρίεσσα λύρη, θυμῆρες πίνοντες ὅπως Διὸς εὐκλέα νύμφην μέλπωμεν, νήσου δεσπότιν ἡμετέρης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 7.1 [ln_1]Οἶνός

book 7.2 τοι

book 7.3 χαρίεντι πέλει

book 7.4 ταχὺς ἵππος ἀοιδῷ· [para]ὕδωρ δὲ πίνων οὐδὲν ἂν τέκοις

book 7.5 σοφόν. Τοῦτ’ ἔλεγεν, Διόνυσε, καὶ ἔπνεεν οὐχ ἑνὸς ἀσκοῦ [para]Κρατῖνος, ἀλλὰ παντὸς ὠδώδει πίθου.[ln_5]Τοιγὰρ ὑπὸ στεφάνοις μέγαρ’ ἔβρυεν, εἶχε δὲ κισσῷ μέτωπον οἷα καὶ σὺ κεκροκωμένον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org